C 361
№ 45.
3552
I. 1248
Fr. R. Kreutzwaldi nim. Eesti NSV Riiklik Raamatukogu
Gymnasium zu Reval

MEMORIAM

LAETISSIMI DIEI PRIDIE IDUS DECEMBRES

QUO

ANTE HOS XXV ANNOS

ALEXANDRI I.

IMPERATORIS LONGE CLEMENTISSIMI GLORIOSAE MEMORIAE
MUNIFICENTISSIMA LIBERALITATE

UNIVERSITAS LITERARUM DORPATENSIS

FAUSTIS AUSPICIIS CONSTITUTA EST

CELEBRAT

ORDO THEOLOGORUM

INTERPRETE

ERNESTO SARTORIUS

PHILOS. ET THEOLOG. DOCT., A CONSIL. AUL., THEOLOGIAE THETICAE ET ETHICAE P. P. O.

INEST LEONTII PRESBYTERI CONSTANTINOPOLITANI HOMILIA IN IOBUM ADHUC INEDITA.

DORPATI LIVONORUM MDCCCXXVII.

TYPIS ACADEMICIS I. C. SCHÜNMANNI.

Ex decreto Senatus Academici.

Dorpati a. cIↃIↃCCCXXVII. d. III. Dec.

G. Ewersius, Rector Academiae.

AR Fr. R. Kreutzwaldi nim. ENSV Riiklik Raamatukogu

Ar 827 C

Sartor

91938 3

TALLINNA KESKRAAMATUKOGU ARHIIV-RAAMATUKOGU

Quum ea sit *Virorum Excellentissimorum*, qui disciplinae publicae Imperatoria auctoritate praesunt, literarum excolendarum cura, ut, quae ubicunque in ditione imperii ad ampliandas eas facere possint, colligenda mandarint, quatuor Almae nostrae Professores annis modo praeterlapsis itinera literaria publicis impensis ingredi jussi sunt, quae non sine multiplici fructu confecerunt. Inter quos Clariss. CLOSSIUS *Mosquam* petiit, ut ibi et bibliothecam S. *Synodi*, jam a MATTHAEIO perlustratam et bibliothecas veterum quorundam urbis illius inclytae monasteriorum nondum satis cognitas pervestigaret, et, si quae notabilia inveniret, in nostram Musarum sedem secum asportaret. Nec spes eum fefellit; quamquam enim, quae prae caeteris quaesivit, ad juris disciplinam spectantia non nisi pauca ei obferebantur, plura tamen ad literas humaniores, historicas et ecclesiasticas pertinentia, hucusque ἀνέκδοτα, e codicibus manuscriptis exscribere potuit, quae tempore opportuno proprio libello evulgabit. Quum ad Sanctt. Patrum scripta adtendere enixe eum rogassem, redux, qua est liberalitate, duas LEONTII cujusdam *Presbyteri Constantinopolitani* in Jobum homilias ex codice manuscripto transscriptas mecum ita communicavit; ut edendarum earum copiam daret. Quarum igitur unam nunc festa hac occasione oblata publici juris facere, vel maxime opportunum duxi.

Quis fuerit et quando vixerit *Leontius* noster, *certant Grammatici et adhuc sub judice lis est.* Plures enim ejusdem nominis commemorat historia literaria [1]). Quorum duo inprimis conspicui sunt, *Leontius Byzantinus* et *Leontius Cyprius* [2]) quorum ille, versus finem saeculi sexti, primum advocatus, deinde relicta saeculari vita monachus, librum de sectis in decem actiones distributum et alios quoque contra haereses quasdam libros confecit [3]), hic vero, eodem fere tempore, saeculi septimi initio, Neapoleos in Cypro insula episcopus, apologiam pro Christianis contra Judaeos, nec non homilias et sermones nonnullos aliaque scripta composuit [4]). Sunt, quibus uterque propter temporis congruentiam ea ratione unus idemque esse videatur, ut *Leontius* ille, primum patria Byzantinus et munere advocatus, deinde, postquam saecularibus negotiis abdicarat, in clerum cooptatus, et denique in sedem Cypri episcopalem sublatus sit [5]). Cui sententiae id sane favere videtur, quod auctor homiliarum nostrarum, qui *Leontius Presbyter Constantinopolitanus* audit, cum *Leontio Cyprio* in inscriptionibus codicum saepius permutatur, dum hujus quaedam homiliae illi, illiusque huic passim adscribuntur [6]). Quamobrem equidem nullus dubito, *Leontium Constantinopolitanum* et *Leontium Cyprium* eundem prorsus virum fuisse, qui variis rerum vicissitudinibus Constantinopoli florere inceperit, et Neapolitanorum in Cypro insula episcopus vitam bene meritam finiverit, id quod viros doctos, qui ea, quae mihi librorum et codicum huc pertinentium denegata est copia, gaudent, accurata scriptorum comparatione instituenda confirmaturos fore, persuasum habeo.

---

1) V. Fabricii Biblioth. graec. ed. Harless. T. VIII. p. 309—328.

2) V. Saxii Onomast. T. II. p. 66 sq. Combefis. Biblioth. Patt. Auctarium novum. T. I. p. 739 sq.

3) V. Cave Scriptt. eccless. histor. literar. ed. noviss. (Bas. 1791.) T. I. p. 543.

4) V. Cave l. c. p. 550.

5) Vossius de historic. graec. lib. 4. c. 8. Cave l. c. p. 543.

6) V. Fabricii Biblioth. graec. T. VIII. p. 310 et 320.

Plures extant *Leontii* nostri homiliae, quas multis in locis dissipatas nec alicubi congestas, hic enumerare, haud abs re videtur. Prelo subjectam equidem non nisi unam comperi, eamque εἰς τὴν μεσοπεντεκοστὴν hisce verbis incipientem: τοῖς φιλοῦσι τὸν Κύριον ἑορτῆς οὐ λείπει καιρός, quae a *Combefisio* Auctario novo Bibl. Patt. T. I. p. 719 sqq. inserta est, et plerumque *Leontio Constantinopolitano*, quamquam a nonnullis etiam *Leontio Cyprio* tribuitur [1]). Apud *Combefisium* eodem loco p. 682 et 702 duas quoque *Leontii Cyprii* homilias invenies, quarum altera (incip. πάντα τὰ ὑπὸ τοῦ δεσπότου) in idem festum mediae pentecostes, altera in *Simeonem*, quando Dominum ulnis excepit (inc. εὐφραινέσθωσαν οἱ οὐρανοί) habita est. Utriusque indoles homiliis *Leontii Constantinopolitani* ita consona est, ut ab uno eodemque autore profectas esse, verisimillimum videatur. Praeter illam caeterarum quoque *Leontii* homiliarum in Bibliotheca Mosquensi [2]), Vindobonensi [3]), Vaticana, Parisiensi, Bodlejana aliisque [4]) obviarum unam alteramve typis exscriptam esse, equidem nescio. Sunt fere hae:

1) In Jesu proditionem et in uxorem Jobi incip. ὥσπερ κανόνος παρατιθέντος.

2) In Jesu passionem et in Jobum inc. μεγάλα τῆς προσευχῆς τὰ χαρίσματα.

3) In Jesu resurrectionem altera incip. εὔκαιρον καὶ παναρμόνιον, altera inc. σύμβολα τῆς δεσποτικῆς ἀναστάσεως.

4) In salutationem Angeli inc. τῆς παρούσης τιμίας καὶ βασιλικῆς συνάξεως, quae et Leontio Cyprio, et etiam Chrysostomo adseritur. [5])

---

1) V. Fabricii Biblioth. graec. T. X. p. 309.

2) V. Matthaei Codicum graec. Biblioth. Mosquens. notitia et recensio. Lips. 1805. p. 21. 145. 170.

3) V. Lambecii comment. de Biblioth. Vindob. ed. Kollar. T. IV. p. 160—163.

4) V. Fabricii Biblioth. graec. T. VIII. p. 319—321.

5) V. Fabricii l. c. T. X. p. 281. Matthaei l. c. p. 145.

5) In Johannis Baptistae conceptionem inc. πολλοὶ μὲν ἤδη πολλάκις. Forsan ejusdem est homilia in Johannis Baptistae natalem (inc. φαιδρὰ καὶ ὑπερλάμπουσα), quae Leontio Monacho adscribitur. [1])

6) In Dominicam Palmarum altera inc. ἤδη τῆς δεσποτικῆς πανηγύρεως, quae et Leontio Cyprio tribuitur [2]), altera inc. τοὺς τῆς εὐσεβείας καθήκει μύστας.

7) In festum Pentecostes inc. ὅσοι περὶ τὴν ἑορταστικήν. [3])

8) In Jobum altera inc. ἄγε δὴ καὶ σήμερον, altera inc. εὔκαιρον ἐν τῷ παρόντι.

Duas hasce in Jobum homilias, quae facetum autoris ingenium satis produnt, ego possideo. Clar. *Clossius* transscribendas eas jussit e codice membranaceo in bibliotheca. S. Synodi sub No. CCXXXIV. asservato, quem *Matthaei* (l. c. sub No. 221. p. 145) ita describit: „Codex membranaceus excepto folio primo, quod est chartaceum, saec. XII., foliorum 307. Fuit antea in monasterio Iberorum. In hoc frequens est confusio vocalium ac caeterarum ejusdem soni literarum [4]). Continet varias Patrum [5]) homilias." Quae sequitur *Leontii*, fol. 98 sqq. hisce verbis habetur:

---

1) Fabricii l. c. T. X. p. 258.

2) Fabricii l. c. T. X. p. 302. Matthaei l. c. p. 170.

3) Matthaei l. c. p. 21.

4) Id profecto confirmatur textus homiliae subsequentis indole.

5) Chrysostomi, Epiphanii, Amphilochii, Johannis Damasceni, Andreae Cretensis Hesychii, aliorumque.

ΛΕΟΝΤΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΠΟΛΕΩΣ ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΙΩΒ.

Τῇ ἁγίᾳ μεγάλῃ τρίτῃ. [1])

Εὔκαιρον ἐν τῷ παρόντι τὸν ἀήττητον τοῦ Θεοῦ στρατιώτην Ἰὼβ λέγειν τὰ τοῦ προφήτου Δαβὶδ (Ψ. 39, 2. 3.)· εἶπα· φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με [2]) ἐν γλώσσῃ μου· ἐθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου· ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν· καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. Ὄντως, ὄντως ὁ Ἰώβ, εἴπερ τις, ἐφύλαξεν ἀπὸ βλασφημίας τὸ στόμα αὐτοῦ· ἐχαλίνωσεν ἀπὸ λοιδορίας τὴν γλῶσσαν αὐτοῦ· ἐχαράκωσεν θεοφοβίας τὰ χείλη αὐτοῦ· ἐταπεινώθη, ἀλλ' οὐκ ἠπορήθη· ἐκωφώθη, ἵνα μὴ τοῦ δράκοντος ἀκούσῃ· ἐσίγησεν ἐξ ἀγαθῶν, ἀλλ' οὐκ ἀπέστη τῶν ἀγαθῶν· ἀνεκαινίσθη αὐτοῦ τὸ ἄλγημα, ἀλλ' οὐ διεφθάρη αὐτοῦ τὸ κατόρθωμα· τὸν ἐξ ἐναντίας αὐτοῦ συνεστῶτα διάβολον ἐματαίωσεν καὶ κενὸν αὐτὸν τῆς ἐλπίδος ἀπέδειξεν. ὃ ἤθελεν, ἔπραξεν ὁ διάβολος, καὶ ὃ προσεδόκησεν [3]), οὐκ ἤκουσεν· τὴν φαρέτραν τῶν βελῶν [4]) ἐκένωσεν, ἀλλὰ τὸν στρατιώτην οὐκ ἔλυγισεν [5])· τὸ σκάφος διέλυσεν, ἀλλὰ τὸν ἐπιβάτην οὐκ ἐβύθισεν [6])· τοὺς δέκα κλάδους τῶν τέκνων ἀπέτεμεν, ἀλλὰ τὴν ῥίζαν τῆς ὑπομονῆς οὐκ ἐσάλευσεν· τοιχωρυχίας [7]) τῷ σώματι προσήνεγκεν, ἀλλὰ τὴν ἡγεμονεύουσαν ψυχὴν οὐκ ᾐχμαλώτευσεν· τοὺς φίλους ἐχθροὺς παρεσκεύασεν, ἀλλὰ τὸν φίλον τοῦ Θεοῦ τῆς πρὸς αὐτὸν φιλίας οὐκ ἠλλοτρίωσεν. Διὸ καὶ ὁ σοφώτατος Ἰώβ, ὡς ἴδεν [8]) τοὺς τρεῖς φίλους, καθὼς ἀρτίως ἤκουες, ἐπὶ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας συγκαθεσθέντας [9]), τὴν μὲν συμπάθειαν ἐθαύμασεν, τὴν δὲ συμβουλίαν οὐκ ἐγνώρισεν· διὰ τί; ὅτι ὠνείδισαν [10]) οἱ φίλοι, δικαίως αὐτὸν πάσχειν ἀποφηνάμενοι·

---

1) I. e. die tertio hebdomadis antepaschalis. cf. ALLATIUM de dominicis et hebdomadibus Graecorum n. 21. et VALESIUM ad Euseb. hist. eccl. V, 24. p. 108. In codice theolog. Bibliothecae Vindobonensis n. 10. fol. 222. p. 2. eadem homilia feriae quartae sanctae hebdomadis adjudicatur. cf. CAVE l. c. p. 145.

2) με deest apud LXX.

3) Apogr. προσεδώκησεν.

4) Apographum Codicis permutatis μ et β habet μελῶν, quod huc non quadrat.

5) et 6) Apograph. permutatis ejusdem soni literis ι et η, ἐλύγησεν, ἐβύθησεν.

7) Apogr. τοιχορυγίας.

8) Ita apogr. pro εἶδεν, neque aliter postea.

9) Apogr. συνκαθεσθέντας.

10) Apogr. ὀνείδησαν.

ἁμαρτιῶν ἀντίδοσιν γενέσθαι διεσάφησαν. Διὸ καὶ ὁ Ἰώβ, ὡς ἴδεν αὐτοὺς ἐν τούτοις, μετὰ πολλὰς ἀντιῤῥήσεις ἀπεκρίθη πρὸς αὐτοὺς λέγων, καθὼς ἡ γραφὴ τοῦ Ἰὼβ περιέχει· ἀτὰρ δὴ[1]) καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως, ἰατροὶ κακῶν πάντες[2])· ἔδει τὸν φίλον παραμυθήσασθαι, μὴ γὰρ τραυματίζεν· παρακαλεῖν, μὴ γὰρ λοιδορεῖν· πειρασμοὶ πειρασμῶν μοι γεγένησθε· οὐχ ὁρᾶτε, πῶς χαλεπὰ τῶν ἰχώρων[3]) τραύματα; οὐ νοεῖτε, πῶς πικρὰ τῶν ὀστράκων τὰ ξέσματα; οὐκ αἰδεῖσθε, πῶς σκληρὰ τῆς κοπρίας τὰ ὑποστρώματα; οὐκ ἠκούσατε, πῶς ψυχοφθόρα τῆς γυναικὸς τὰ συμβουλεύματα; ὃ ἔδει ὑμᾶς κουφίζειν, ἐπιφορτοῦτε· τί τῷ διαβόλῳ πειθαρχεῖτε; τί ἐπιξέεστέ μου τὰ τραύματα; τί τῇ γλώσσῃ με τοξεύετε; τί τῷ στόματι πολεμεῖτε; οὐκ ἠρκέσθη ὁ ἡττηθείς; ἔτι πυκτεύει ὁ κάτω κείμενος· καὶ ἐπὶ κοπρίας ἠκολούθησεν· πᾶσάν μου τὴν ὕπαρξιν ἀπέτεμεν· τὴν δεκάδα τῶν τέκνων ἐθέρισεν[4])· τὴν γυναῖκά μοι μόνην ἐφύλαξεν, καὶ αὐτὴν οὐχ ὡς παρηγορίαν, ἀλλ᾽ ὡς ἐπίβουλον· ὡς δὲ καὶ δι᾽ αὐτῆς ἐματαιώθη, δι᾽ ὑμῶν με πάλιν ὑποσύρειν ἐπείγεται. ἀπόστητε τοίνυν, ὦ φίλοι· ἔγνων τοῦ πανούργου τὰ ἐπιχειρήματα· πρῶτον καὶ ὑμᾶς συμπαθεῖς ἀνέδειξεν, καὶ ἐπὶ κοπρίας καθέζεσθαι παρεσκεύασεν, καὶ ἐπὶ ἑπτὰ ἡμέρας ἀσίτους καὶ ἀλάλους ἀνέδειξεν, ὅπως ἐγὼ θαῤῥήσας τῇ συμπαθείᾳ θᾶττον δέξομαι τὴν ἐπιβουλήν. ἀπόστητε, φίλοι· οἶδα πότε καὶ τὰ τῶν φίλων ὑμᾶς λαλεῖν παρασκευάζει· οἶδα πότε τὰ κατὰ τῶν ἐχθρῶν ὑποσπείρει, πρῶτον τὸ συμπαθὲς καὶ τότε τὸ δόλιον. ἀπόστητε τοίνυν, ὦ φίλοι· οὐ μή με πείσητε βλασφημῆσαι· οἶδα προλέγειν τὰ τοῦ Δαβίδ (Ψ. 49, 3.)· τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Ἔστιν δὲ πάντως εἰπεῖν τινα· τί οὖν ὁ Ἰὼβ οὐχ ἥμαρτεν, οὐδὲ[5]) ἐβλασφήμησεν, οὐδὲ[6]) ἐλάλησεν ἐναντίον; πᾶσαν τὴν κτίσιν κατηράσατο, καὶ μετ᾽ ὀδύνης[7]) ἐβόησεν (3, 3.)· ἀπόλοιτο ἡ ἡμέρα, ᾗ ἐγεννήθην, καὶ ἡ νύξ, ἐν ᾗ εἶπον· ἰδοῦ ἄῤῥεν[8])· ἔβρισεν[9]) τῆς μητέρος τὴν εὐγένειαν· τύμβον τὸν κόλπον τῆς μητέρος προσεδόκησεν· διέβαλεν τῶν μαζῶν τὴν εὐγένειαν· τὴν κοινὴν γαλακτοτροφίαν ἐνύβρισεν[10]). οὐ ταῦτα καὶ τὰ παραπλήσια τούτων μετῆλθεν[11]); πῶς οὖν; οὐχ

---

1) LXX. δέ, 6, 21. male.

2) LXX. ἰατροὶ ἄδικοι καὶ ἰαταὶ κακῶν πάντες, 13, 4. Quae sequuntur, de suo Leontius addidit.

3) Adde τά.

4) Apogr. ἐθέρησεν.

5) et 6) Apogr. bis οὐτέ, quod hic non magis in οὔτε mutandum, quam p. IX. n. 1).

7) Apogr. ὀδείνης.

8) LXX. ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νὺξ ἐκείνη, ᾗ εἶπαν· ἰδοὺ ἄρσεν.

9) et 10) Apogr. ἔυρισεν, et ἐνύυρισεν.

11) Apogr. μεθῆλθεν.

ἥμαρτεν Ἰώβ· ἐπειδὴ κέκραγεν ἡ γραφή· οὐδὲ ἐν[1]) τοῖς χείλεσιν αὐτοῦ ἥμαρτεν ὁ Ἰώβ (2, 10).

Ἄκουε συνετῶς· ἐν παντὶ πράγματι τὸν σκοπὸν ζήτει τοῦ πράγματος, καὶ οὐδαμῶς τῆς ἀληθείας οὐ μὴ διαπέσῃς· ἄκουε συνετῶς· ὡς μὲν πρὸς τὰς λέξεις ἔπεσεν ὁ Ἰώβ· ὡς πρὸς τὰς λέξεις, οὐχ ὡς πρὸς τὰς ἐννοίας, τὴν κτίσιν τοῦ Θεοῦ ἐλοιδόρησεν· ὡς δὲ πρότασιν[2]) τοῦ διαβόλου οὐδ᾽ ὅλως ἥμαρτεν ὁ Ἰὼβ κατὰ τὴν θείαν γραφήν. Ἔστιν δὲ πάντως εἰπεῖν τινα· οὐδ᾽ ὅλως ἥμαρτεν ὁ Ἰώβ; ἄκουε συνετῶς· ὁ διάβολος προσελθὼν τῷ Κυρίῳ κατὰ διάνοιαν, οὐ κατ᾽ ἔμφασιν[3]) — τοῦτο γὰρ καὶ χθὲς ἐλέγετο, ὅτι κατὰ διάνοιαν ὁ διάβολος ἀπεκρίνατο τῷ Κυρίῳ, οὐχὶ δὲ ἐπ᾽ ὄψεσιν· τὴν γὰρ γραφὴν τοῦ Ἰὼβ ὁ ἱστοριογράφος Μωσῆς[4]) ἀνεγράψατο· οὗτος δὲ οὐκ ἦν ἐν τοῖς χρόνοις τοῦ Ἰώβ· πέμπτος ἦν μετὰ τὸν Ἀβραὰμ ὁ Ἰώβ, ὁ δὲ Μωσῆς μετὰ πολλὰς γενεὰς μετὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον· ἀλλ᾽ ὅμως ἀνεγράψατο[5]) τὰ κατὰ τὸν Ἰώβ, οὐκ οἰκείῳ βουλήματι, ἀλλ᾽ ὑπαγορεύσει τοῦ ἁγίου πνεύματος· τὸ ἅγιον τοίνυν πνεῦμα, ὡς πάντα ἐπιστάμενον τὰ κατὰ τὸν σκοπὸν καὶ τὴν διάνοιαν τοῦ διαβόλου, ὑπηγόρευσεν τῷ Μωσῇ ὡς ἱστορίαν πάντα ταῦτα ἐκθέσθαι· ἐπίστατο[6]) γὰρ τὸ ἅγιον πνεῦμα καὶ τὴν τοῦ διαβόλου καὶ τὴν πρὸς τὴν τούτου ἰδίαν τοῦ Θεοῦ ἀντίῤῥησιν· οἶδεν γὰρ τὸ ἅγιον πνεῦμα καὶ τὰ τοῦ Θεοῦ, κατὰ τὸν μακάριον Παῦλον τὸν λέγοντα (1. Cor. 2, 11.)· οὐδεὶς οἶδεν τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ· καὶ πάλιν (ibid. v. 10.)· τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ· τὴν διάνοιαν τοίνυν τοῦ διαβόλου τὸ ἅγιον πνεῦμα θεωρήσαν ἱστορίαν ὑπηγόρευσεν, ὅπως ἡμεῖς οἱ ἀκούοντες σαφέστερον ἐπιβάλωμεν τοῖς λεγομένοις· εἴ τι οὖν ἀκούεις τοῦ διαβόλου λέγοντος, κατὰ διάνοιαν ἄκουε, εἴ τι δὲ τοῦ Θεοῦ, κατὰ ἀπόφασιν· τοῦτο γὰρ ἐξέδωκεν τὸ ἅγιον πνεῦμα — κατὰ διάνοιαν τοίνυν προσελθὼν ὁ διάβολος τῷ Κυρίῳ ἐξητήσατο τὸν Ἰώβ, λέγων· δός μοι αὐτοῦ τὴν ἐξουσίαν, καὶ δείκνυμι[7]), πῶς ἀναισχυντότερον[8]) πάντων σε βλασφημήσει· τοῦτ᾽ ἔστιν· δός μοι

1) LXX. οὐδέν. Apogr. οὔτε ἐν.

2) Immo: πρὸς πρότασιν, i. e. secundum promissum. cf. Job. 1, 11; 2, 5.

3) Lineolis a nobis inclusa inde a τοῦτο usque ad πνεῦμα excursionem continent, in qua auctor, quae in altera in Jobum homilia supra memorata exposuit, ad illustrandum discrimen τοῦ κατὰ διάνοιαν et τοῦ κατ᾽ ἔμφασιν repetit.

4) Infra Μωϋσῆς scriptum legimus.

5) Apogr. ἂν ἐγράψατο.

6) Melius ἠπίστατο.

7) In apogr. per transpositionem δύκνειμι legitur.

8) Apogr. ἀναισχυντώτερον.

αὐτοῦ τὴν πᾶσαν ἡγεμονίαν, καὶ παρασκευάζω[1]) τὸν Ἰὼβ κατὰ πρόσωπόν σε βλασφημῆσαι· τοῦτ᾽ ἔστιν, τὰ ἐναντία σοι πράξασθαι· ἀπρονόητόν σε κηρύξαι· εἴδωλα προσκυνῆσαι, καὶ σὲ καταλεῖψαι· ἀγάλμασι θυσιάσαι, καὶ σοὶ μὴ προσενέγκαι· βωμοὺς[2]) ναῶν ἐγείρειν, καὶ θυσιαστήρια καταστρέφειν. Τοῦτον τὸν σκοπὸν ἐξήνυεν[3]) ὁ διάβολος, καὶ εἰς ταῦτα προσεδόκα[4]) τὸν Ἰὼβ καθιστάναι[5])· εἰ τούτων τοίνυν μετήλυθέν[6]) τι ὁ Ἰώβ, ἐβλασφήμησεν, ἐπειδὴ τὰ διαβόλου διεπράξατο· εἰ δὲ οὐδὲν τούτων μετῆλθεν[7]), δίκαιος ἦν καὶ ἄμεμπτος καὶ θεοσεβὴς κατὰ τὴν τοῦ Κυρίου διδασκαλίαν· ὃν γὰρ ὁ Θεὸς δικαιοῖ, τίς κατακρίνει; Οὐδ᾽ ὅλως οὖν ἥμαρτεν ὁ Ἰώβ, ἀνθρώπινα ῥήματα λαλήσας· ὡς ἄνθρωπος γὰρ ἐλάλησεν, πληττόμενος ὑπὸ τῶν ὀδυνῶν· εἰ μὴ γὰρ ἦν ταῦτα λαλήσας καὶ τὴν ἡμέραν ἀρασάμενος, εἶχον λέγειν τινές, ὅτι ἀναίσθητος γέγονεν[8]), ἢ ὅτι ὑπερέχει[9]) τὰ ἀνθρώπινα μέτρα· ἔνθεν γὰρ δείκνυται, ἀπὸ τῆς ἀρᾶς αὐτοῦ, ὅτι μεγάλοις βασάνοις περιεβλήθη· ἐξ ὧν τὴν ὀδύνην μὴ φέρων, ἀνθρωπίνως ἐβόα λέγων (3, 11. 12.)· διὰ τί ἐκ κοιλίας μητέρος μου[10]) οὐκ ἐτελεύτησα, ἐξῆλθον[11]) δέ, καὶ οὐκ εὐθὺς ἀπωλόμην; διὰ τί[12]) δὲ συνήντησάν μοι τὰ γόνατα, διὰ τί δὲ μαστοὺς ἐθήλασα μητέρος μου[13]); ταῦτα πρὸς ἑαυτὸν ἔλεγεν, καὶ οὐχ ὡς τὸν δημιουργὸν ἐβλασφήμει· τοῦτ᾽ ἔστιν· διὰ τί μὴ γέγονεν ὁ μητρῷος κόλπος[14]) τύμβος; ἵνα μὴ παλαίω καὶ μὴ γνωρίζω, τίνι παλαίω; εἰ εἶχον προσομοιόσχημόν[15]) τινα, ᾔδειν, πῶς κρατῶ καὶ κρατοῦμαι· διὰ τοῦτο προσετίθει λέγων (3, 24. 25.)· πρὸ γὰρ τῶν σιτίων[16]) μου στεναγμός μοι[17]) ἥκει· δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ· φόβον γὰρ ὃν εὐλαβούμην[18]), ἦλθέν μοι, καὶ

---

1) Apogr. παρασκεβάζω.
2) Apogr. βομούς.
3) Corrige: ἐμήνυεν.
4) Apogr. προσεδώκα.
5) Apogr. καθιστᾶν, sine dubio ob male intellectum scribendi compendium.
6) Notanda forma epica.
7) Apogr. μεθῆλθεν, ut supra.
8) Apogr. λέγονεν.
9) Apogr. ὑπερέκη.
10) LXX. ἐν κοιλίᾳ.
11) LXX. ἐκ γαστρὸς δὲ ἐξῆλθον.
12) LXX. ἱνατί.
13) LXX. ἱνατὶ δὲ μαστούς ἐθήλασα;
14) Κόλπος per errorem bis deinceps exstat.
15) Apogr. πρὸς ὁμοιόσχημον.
16) LXX. σίτων.
17) μοι apud LXX. deest.
18) LXX. ἐφρόντισα.

ὃν ἐδεδοίκειν [1]), συνήντησέν μοι· πρὸ γὰρ τῶν σιτίων μου στεναγμός μοι ἥκει· ἀνθρώπινα τὰ ῥήματα διὰ τὸ πάθος ἀνηγόρευται [2])· εἰ μὴ γὰρ ταῦτα ἦν ἐκθέμενος ὁ Ἰώβ, ἤμελλον λέγειν τινές, ἅπερ καὶ νῦν λέγουσι, ὅτι μεγάλας μὲν πληγὰς ἐδέξατο, ὅμως [δὲ οὐκ ᾔσθετο τῶν πληγῶν, ὅτι ὁ Θεὸς αὐτὰς ἐκούφιζεν. ταῦτα λέγουσίν τινες καὶ ἐν τῷ] παρόντι, ὅτι οὐκ ᾔσθετο τῶν πληγῶν. τί λέγεις, ὦ φίλε; ᾔσθετο τῶν πληγῶν ὁ Ἰώβ, ἢ οὐκ ᾔσθετο; μισθὸν ἐδέξατο, ἢ οὐκ ἐδέξατο; παντί που δῆλον, ὅτι ᾔσθετο· ὁ γὰρ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται (1. Cor. 9, 25.)· ὁ Θεὸς τὸν ὑπὲρ αὐτοῦ ἀγωνιζόμενον καὶ πληγὰς μαρτυρικὰς δεχόμενον ποιεῖ αἰσθέσθαι [3]) καὶ τῆς πληγῆς, οὐ περιαιρεῖ τὴν πληγήν· ὑπομονὴν μὲν παρέχει καὶ ἰσχὺν χορηγεῖ [4]) πρὸς ἧτταν τῶν ἀντιπάλων, ποιεῖ δὲ αὐτὸν αἰσθέσθαι [5]), ἵνα ἔμμισθος ᾖ ὁ ἀγών· καὶ τούτου μάρτυς ὁ μακάριος Παῦλος βοῶν (2. Cor. 12, 7.)· ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ [6]), ἵνα μὴ ὑπεραίρωμαι [7])· ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ, καὶ εἴρηκέν [8]) μοι· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὄντως ἐν ἀσθενείᾳ ἡ Θεοῦ δύναμις τελειοῦται· ἠσθένησεν ὁ Ἰώβ, καθὼς ἀρτίως ἤκουες, ἀσθένειαν οὐ φυσικῶς ἀτακτοῦσαν, ἀλλὰ διαβολικῶς αὐθεντοῦσαν· εἵλκοῦτο ἀπὸ κεφαλῆς ἕως ὀνύχων· οὐκ ἦν φάρμακον ἐπιθεῖναι [9])· οὐκ ἰατρὸν παραμυθήσασθαι· οὐκ ἔλαιον ἐπιχέαι· οὐκ ἄλλην τινὰ βοήθειαν προσενέγκαι· οὐδὲ ἓν τῶν σωματικῶν παραγαγεῖν [10]), εἰ μὴ μόνον τὸ [11]) θεοδώρητον τῆς ὑπομονῆς ἔμπλαστρον· ταύτην γὰρ ὁ Ἰὼβ χρισάμενος ἑαυτὸν μὲν περιώδευσεν, τὸν δὲ διάβολον ἐτραυμάτισεν. Ἤκουες ἀρτίως τοῦ συγγραφέως λέγοντος (2, 7.)· ἐξῆλθεν δὲ ὁ διάβολος ἀπὸ προσώπου Κυρίου [12]), καὶ ἔπαισεν τὸν [13]) Ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς· καὶ ἔλαβεν ὁ Ἰὼβ τὸν ὄστρακον, ἵνα ἀποξέῃ

---

1) Apogr. ἐπεδοίκην.
2) Apogr. ἀπηγόρευται.
3) Apogr. αἰσθῆσθαι.
4) Apogr. χοριγεῖ.
5) Apogr. εἰσθεῖσθαι.
6) Apogr. κολαφίζει.
7) Apogr. ὑπεραίρομαι.
8) Apogr. ἥρηκεν.
9) Apogr. ἐπιθῆναι.
10) Apogr. παραγογεῖν.
11) Apogr. τόν.
12) LXX. ἀπὸ τοῦ Κυρίου.
13) Apogr. τῷ.

τὸν ἰχῶρα αὐτοῦ[1]). ἴδεις[2]) περιωδίαν σκληροτέραν τοῦ πάθους; ἔλαβεν ὄστρακον καὶ ἀπέξεεν τοὺς ἰχῶρας. τίς ἴδεν ὀστράκινον σπόγγον; ὀστράκῳ τοὺς ἰχῶρας ἀπέξεε· ὄστρακον καὶ ὁλοκλήρῳ σώματι προσαγόμενον ἐγείρει τραύματα, οὐχὶ δὲ ἑλκούμενον[3]) παραμυθεῖται. καὶ ἔλαβεν ὄστρακον καὶ ἔξεεν τοὺς ἰχῶρας· ὀστράκῳ τὸν ὄστρακον παραμυθεῖτο[4]), καὶ τὸν θησαυρὸν[5]) τῆς πίστεως οὐκ ἀπεμόλυνεν[6]), πειθόμενος Παύλῳ τῷ λέγοντι (2.Cor. 4, 7.)· ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύασιν. ἔλαβεν ὄστρακον καὶ ἀπέξεεν τοὺς ἰχῶρας αὐτοῦ. ὢ φοβερᾶς περιωδίας· μᾶλλον δὲ ὢ γενναιοτάτης[7]) καρτερίας· ὀστράκῳ τοὺς ἰχῶρας ἀπέξεεν· μόνον ἴδεν ὁ Ἰώβ, ὅτι εἵλκωται[8]) πανταχόθεν, καὶ ὅτι ἐῤῥύπωται ἀπὸ κεφαλῆς ἕως ὀνύχων· θεασάμενος ἑαυτὸν καὶ συλλογισάμενος, ὅτι βασιλεύς ἐστιν λογικός ἀνδριάς, θᾶττον λαβὼν τὸ ὄστρακον ὡς ἐν γενεθλίῳ πανδήμῳ[9]) ἀποξέει τὸν ἀνδριάντα, ὅπως καθαρὸν ἀποδείξῃ τῇ ὑπομονῇ. Διὸ καὶ ὁ διάβολος, ὡς ἴδεν ταύτην τὴν ἐργασίαν τὸν Ἰὼβ μετιόντα[10]), ἐδυσχέραινεν, συνέπεσεν, ἑαυτὸν κατέτεμνεν λέγων ἐν ἑαυτῷ· τί ποιήσω; ἥττημαι τῷ Ἰώβ· δικαίως αὐτῷ ὁ Κύριος προσεμαρτύρησεν· ἐσφάλην προσελθὼν τῇ πάλῃ· γενναιότερον αὐτὸν ἀπέδειξαν οἱ πειρασμοί· ἐγὼ πᾶσαν αὐτοῦ τὴν ὕπαρξιν ἔλαβον· καὶ οὐ μόνον οὐ κατεκάμφθη λυπηθείς, ἀλλὰ τοὐναντίον, καὶ ὃν ἐφόρει χιτῶνα[11]), ὡς ῥάκος μοι προσέῤῥιψεν, λέγων μεγαλοφώνως (1, 21.)· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας[13]). τί ποιήσω; διὰ πάντων γενναιίζει· ὡς ἀθλητής[13]) μοι παρίσταται· τὴν κόμην

---

1) LXX. καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ, cum V. L. ἀποξέῃ.

2) Notanda forma barbara.

3) Apogr. ἑλκόμενον.

4) Vitiose pro παρεμυθεῖτο.

5) Apogr. θυσαυρόν.

6) Apogr. ἀτεμόλυνεν.

7) Apogr. ὀγενναιωτάτης.

8) Apogr. εἱλκόται.

9) Apogr. habet ἐγγενεθλίῳ πανδήμῳ. Publica urbium natalitia, eaque in templis Deae Fortunae s. Τύχης, usque ad Mauritii Imperatoris tempora, quibus Leontius noster floruit, celebrata esse, praeter alios docet Eckhel. in Doctr. Numm. Vol. VIII. p. 141 seq. Plura de cultu huius Fortunae eiusque statua exornata ad Inscriptiones Richterianas exponet clarissimus et carissimus Franckius, cui huius homiliae plerasque correctiones me debere gratus profiteor. Erat autem CPolis dies natalis V. Id. Mai. Hoc igitur die festo abstersam fuisse statuam illam, hoc ex loco videmus.

10) Apogr. μετιῶντα.

11) Apogr. χειτῶνα.

12) Εἰς τοὺς αἰῶνας deest apud LXX.

13) Apogr. ἀθληθής.

ἐκείρατο· κόνιν κατεπάσατο· πεσὼν προσεκύνησεν τῷ ἀγωνοθέτῃ· ὡς νικητὴς ἤδη πτερύσσεται [1])· τὴν γυμνότητα λαμπροτέραν ἡγεῖται τῆς ἁλουργίδος· τὸν βασιλικὸν αὐτοῦ θρόνον συνέτριψα, καὶ λαμπρότερος ἐπὶ τῆς κοπρίας καθέζεται. εἰ αὐτός, μηδένα πρὸ αὐτοῦ θεωρήσας, οὕτω μου κατεξανίσταται, οἱ μετ᾽ αὐτὸν τοῦτον βλέποντες τί κατεργάσονται; οὐχὶ παίγνιόν [2]) με λογίσονται; ἐγὼ καὶ προσάγων τὰ πάθη κάμνω, καὶ οὗτος οὐ δυσχεραίνει· πανταχόθεν αὐτῷ πάθη κατεζωγράφησα, καὶ οὗτος ἐπιτείνει τὴν ὀδύνην, ὀστράκῳ με καταξέων· οὐ τοσοῦτον γὰρ αὐτὸς δάκνεται, ὅσον ἐγὼ κατεσθίομαι. τί ποιήσω; ἥτταν προβλέπω· πᾶσαν μηχανὴν προσήνεγκα, καὶ οὐδ᾽ ὅλως αὐτὸν ἐξέλυσα· μία μοι μόνη τις ἐλπὶς ὑπολέλειπται, δι᾽ ἧς τὸν Ἀδὰμ ἐπλάνησα· ἔχω δευτέραν Εὔαν· ταύτῃ θαῤῥῶ· οἶδα, ὅτι νικητὴν ἀποδείξει [3]) με· θᾶττον ἀνὴρ ὑπὸ γυναικὸς σκελίζεται· διὰ τοῦτο αὐτῆς καὶ τὰ ὄντα τέκνα ἀπώλεσα, ἐλπίζων δι᾽ αὐτῆς τῆς θηρᾶς ἐπιλαβέσθαι. καὶ ὅτι ταύτην ὁ διάβολος τελευταίαν ἐτήρησεν, καὶ ἐνθηκιάσας ἀπέστειλεν, ἤκουες ἀρτίως, τοῦ ἱστοριογράφου Μωϋσέως λέγοντος (Iob. 2, 9.)· χρόνου δὲ πολλοῦ προβεβηκότος — ἵνα μαθῇς τὴν ὑπομονὴν τοῦ Ἰώβ, ὅτι οὐ πέντε ἢ δέκα ἡμέρας ἐπάλαισεν, ἀλλ᾽ ἐπὶ πολὺν [4]) χρόνον — χρόνου δὲ πολλοῦ προβεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· μέχρι τίνος καρτερήσεις λέγων· ἰδοῦ ἀναμένω χρόνον ἔτι μικρόν; ἐπιστράφηθι πρὸς τὴν ἐμὴν συμβουλίαν· ἐπίγνωθί σου τὴν γαμετήν· βλέπε, τίς εἰμί· δίκαιά σοι συμβουλεύω· εἰπέ τι ῥῆμα πρὸς [5]) Κύριον, καὶ τελεύτα. Ὁ δὲ Ἰὼβ πρὸς αὐτήν· ἐπιστραφῶ πρὸς σέ; καλῶς εἶπες· ἐπιστράφηθι καὶ ἴδε, εἰ γνωρίζεις με. οὐ γνωρίζω σε, τίς εἶ· οὐκ ἔχεις τὸ πρώτων πειρασμῶν πρόσωπον· ἄλλο μοι νυνὶ ἐπιφέρεις σχῆμα, ὃ ἐν τῷ ὄφει καὶ ἐν σοὶ κατοικεῖ· οὐ πείθομαί σοι, γύναι· οὐκ ἀπολῶ [6]) διὰ σοῦ τὸν παράδεισον· ἄπιθι ἀπ᾽ ἐμοῦ, γύναι· οὐ ῥάπτω φύλλα συκῆς· οὐκ ἀκούω διὰ σὲ τοῦ Κυρίου ὀνειδιστικῶς λέγοντος· Ἰώβ, ποῦ εἶ; ἄπιθι, γύναι. οὐκ ἔξεστιν, γυναῖκα ἐν ἀγωνιστικῷ σκάμματι παρακαθέζεσθαι· πυκτεύω καὶ συμφοράς μοι μηνύεις· ταῦτα κατ᾽ οἶκον ἐξετάζεται· μὴ γὰρ ἐν Ὀλυμπίοις γυμνάζεται· ἄπιθι, γύναι, ἄπιθι· τῷ δὲ Θεῷ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1) Apogr. πτερύσσεται.

2) Apogr. πέγνιον.

3) Apogr. ἀποδείξῃ.

4) Apogr. πολύ.

5) LXX. εἰπόν τι ῥῆμα εἰς.

6) Apogr. ἀπόλλω.

Ar 827 C
Sartor

Τῷ Θεῷ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων! Jam id nos quoque ex animo profiteri oportet; nam favente Deo ter optimo maximo ab ALEXANDRO I., munificentissimo Imperatore, jamjam coronam coelestem ferente, saeculi hujus anno secundo hac in urbe sacer Musarum lucus satus est, qui dextra Dei protegente ita accrevit et effloruit, ut nunc uberrimos et laetissimos fructus fundat. Sub cujus umbra fore ut nobiscum laetemini Vos, bonarum literarum patroni atque fautores, confidenter speramus, et ut nostris erga Deum gratiarum actionibus precibusque pro conservata hucusque et conservanda in perpetuum hac alma literarum Universitate Vestras jungatis, Vos inprimis rogamus, Viri summe reverendi, quos ob praeclara in Ecclesiam merita in festam diei XII. Decembr. memoriam Ordo Theologorum Dorpatensis summis in Theologia honoribus condecorare decrevit, Te, CAROLE BERG, ad principalem ecclesiarum Livoniae sedem nuperrime evocatum, et Te, GODOFREDE MENKEN, verbi divini apud Bremenses ministrum. Favete nobis, sicut Vobis favemus.

PerpetVo VIVat CresCatqVe aCaDeMIa, qVaeso!

EESTI RAHVUSRAAMATUKOGU RARA
RLD-827
Sartorius
R 13.534
TALLINNA KESKRAAMATUKOGU ARHIIV-RAAMATUKOGU